σπουδάν τ' ἐπιφλέξω φρενῶν;

αὐτὸ μὰν ἀρκεῖ χρέος οὗ καὶ ἀγωνίζεσθ' ὕπερ στρ. δ'
ὥστ' ὀξέα ψυχαῖς ὑπὸ κέντρα δονῆσαι·
τίς κεν εἴποι κῦμα μέγ' ὑμετέρας χειμῶνά τ' ἀθέσφατον ὁρμᾶς,
δέργμα τίς ἔνθεον ὄσσων τ' ἀστραπάς;
χρῆμα γὰρ οὐράνιον
πόθεν ἂν θνατῶν φάτις
γαρύοι; θεῖος δ' ἔρως

Come cadrà? come dal

Fia vostra gloria o quai

Voi, di che il nostro m:

Sempre vivete, o care a

Conforto a nostra sventu

Fra l' itale ruine

Gl' itali pregi a celebrare

Ecco voglioso anch' io

Ad onorar nostra dolente

Porto quel che mi lice,

E mesco all' opra vostra

ονίων, εἰ πατρίδος ἀντ. ε'
φαμον ἔθηκας,
ιμι καλῶς, τιμαῖς ἐπὶ ταῖσδε γέγαθας,
ώποις κλέος

περ καὶ λίθου ἐπ. ε'
αλκοῖό τε κηρὸς ἔφυ·
ξ ἀμᾶν φρενῶν

, εἴ τιν' ἔχοι, κακὰ δαίμων,
ἀλλήκτοις τεὸν ἀκλεὲς ἐν θνατοῖς στένοι.
ἀγλαΐαις,
πατρίδος,

ίμων προγόνων μεμναμένοι στρ. ς'
οι σθένος ἀργᾶς
χρόνον γ' ἐπὶ παῦρον. φεῦ· χαλεπαῖς ὅσα

ν λεύσσεις πάτραν,

Se di costei che tanto alto locasti
Qualche novella ai vostri lidi arriva,
Io so ben che per te gioia non senti,
Chè saldi men che cera e men ch' arena,
Verso la fama che di te lasciasti.
Son bronzi e marmi; e dalle nostre menti
Se mai cadesti ancor, s' unqua cadrai.
Cresca, se crescer può, nostra sciaura.
E in sempiterni guai
Pianga tua stirpe a tutto il mondo oscura.
Ma non per te: per questa ti rallegri
Povera patria tua, s' unqua l' esempio
Degli avi e de' parenti
Ponga ne' figli sonnacchiosi ed egri
Tanto valor che un tratto alzino il viso.
Ahi da che lungo scempio
Vedi afflitta costei, che s' meschina
Te salutava allora
Che di novo salisti al paradiso

πύστις εἰ κἀκεῖ τις ἐπιχθονίων, εἰ πατρίδος ἀντ. ε'
κείνας ἱκάνει σ' ἂν πολύφαμον ἔθηκας,
οὐχ ὑπὲρ σαυτοῦ, τόδ' ἴσαμι καλῶς, τιμαῖς ἐπὶ ταῖσδε γέγαθας,
εἴ γ' ὃ λελοιπας ἐν ἀνθρώποις κλέος
μνᾶμα βεβαιότερον
λιθίνου θ' ἱδρύματος
καὶ τύπων χαλκαλάτων

τόσσῳ τετέλεσται, ὅσῳ περ καὶ λίθου ἐπ. ε'
ψάμμος ἀφαυρότερον χαλκοῖό τε κηρὸς ἔφυ·
εἰ δ' ἔπεσες σύ ποτ' ἐξ ἀμᾶν φρενῶν
ἠὲ πέσοις ἔτ' ἄτιμος,
μείζονα δὴ πόροι ἀμῖν, εἴ τιν' ἔχοι, κακὰ δαίμων,
σὺν δ' ὀδύναις γένος ἀλλήκτοις τεὸν ἀκλεὲς ἐν θνατοῖς στένοι.
σαῖς μὲν οὐ τέρπεαι ἀγλαΐαις,
οἰκτρᾶς δ' ὑπὲρ σᾶς πατρίδος,

εἴ ποτ' ἀστοὶ κυδαλίμων προγόνων μεμναμένοι στρ. ς'
ῥᾳθυμίας ἀλλαξάμενοι σθένος ἀργᾶς
κρᾶτ' ἀνορθώσοντι χρόνον γ' ἐπὶ παῦρον. φεῦ· χαλεπαῖς ὅσα
λώβαις
δαρὸν ἐλαυνομέναν λεύσσεις πάτραν,
ἃ σ', ὅτ' ἐς Ἠλυσίας
μακάρων ἕδρας στόλον
ἐστάλης τὸν δεύτερον,

Oggi ridotta sì che, a quel che vedi,
Fu fortunata allor donna e reina.
Tal miseria l' accora
Qual tu forse mirando a te non credi.
Taccio gli altri nemici e l' altre doglie,
Ma non la più recente e la più fera,
Per cui presso alle soglie
Vide la patria tua l' ultima sera.
Beato te che il fato
A viver non dannò fra tanto orrore;
Che non vedesti in braccio
L' itala moglie a barbaro soldato;
Non predar, non guastar cittadi e cólti
L' asta inimica e il peregrin furore;
Non degl' itali ingegni
Tratte l' opre divine a miseranda
Schiavitude oltre l' alpe, e non de' folti

οὐκ ἐν ὥρᾳ θήκατ' ἀποιχόμενον· νῦν δ' αὖ κακοῖς ἀντ. ε'
ἀλγεῖ τοιούτοις, ὥστε παρ' ἂν σὺ δέδορκας
ὀλβία δόξαι τᾶς τόθ' ἕκατι τύχας χώρᾳ πάρος ἐμβασιλεῦσαι·
θαῦμά κ' ἄπιστον ἴσως κεῖθεν δρακεὶς
πῆμα τοσόνδε λέγοις.
τὰ μὲν ἄλλ' ἐχθρούς τ' ἀφεὶς
καὶ πόνους σιγάσομαι·

δεινῶν δ' ὃ νεώτατον ἔχθιστόν θ' ὁμῶς, ἐπ. ε'
τοῦτο φράσαιμ' ἄν, ὑφ' οὗ μοίρας ἐπιόντα τεὰ
πατρὶς ὄπωπε τελευταίας ζόφον.
ἄξιος εἶ μακαρίζειν,
ὃν πότμος οὐ κάθελεν λεύσσονθ' Ὑπερίονος αὐγὰς
ταῖσδε σύνοικον ἐν ἄταις ἔμμεναι, οὐδ' ἀκολάστους προσβλέπειν
ἀγκάλας ἀμφιτιθέντα βίᾳ
νύμφαισιν αἰχματὰν ξένον

Ἰταλαῖς· οὐδ' εἴσιδες ἄστεα καὶ λευροὺς γύας στρ. ζ'
ὠμᾶς βιατᾶν ἀλλοδαπῶν ὑπὸ λύσσας
δαΐοις ἐν δούρασι περθομένους, ἔργων θ' ὅσ' ὑπέρτατα τέχναις
Ἰταλικαὶ Χάριτες θείαις κάμον
ἑλκόμεν' εἰς ὕποχον
Βορέᾳ γᾶν, βαρβάρων
δεσποτᾶν κόσμον δόμοις·

Carri impedita la dolente via;
Non gli aspri cenni ed i superbi regni;
Non udisti gli oltraggi e la nefanda
Voce di libertà che ne schernia
Tra il suon delle catene e de' flagelli.
Chi non si duol? che non soffrimmo? intatto
Che lasciaron quei felli?
Qual tempio, quale altare o qual misfatto?
Perchè venimmo a sì perversi tempi?
Perchè il nascer ne desti o perchè prima
Non ne desti il morire,
Acerbo fato? onde a stranieri ed empi
Nostra patria vedendo ancella e schiava
E da mordace lima
Roder la sua virtù, di null' aita
E di nullo conforto
Lo spietato dolor che la stracciava
Ammollir ne fu dato in parte alcuna.

οὐδ' ἀμαξᾶν πλήρε' ἴδες πυκινᾶν λυγρὰν ὁδόν, ἀντ. ζ'
ξείνων ὅπ' οὐκ ἄκουσας ἀμείλιχον ἀστοῖς
ἐντολὰς κραίνοισαν ὑπερφιάλους, δούλοις τ' ὄνυμ', ὥσπερ ἐφ'
ὕβρει,
σεμνὸν Ἐλευθερίας, χειρωμάτων
δυσσεβέων πρόφασιν,
ἀνακαρυχθέν, πεδᾶν
ἔν τε μαστίγων ψόφῳ.

τίς πένθεος οὐ μετέχει; ποῖον δ' ἄχος ἐπ. ζ'
οὐ φέρομεν; τί δ' ἀπόρθητον νοέοισιν ἐᾶν
οἵδ' ἄνομοι, τί θεῶν ἀνάκτορον
ἢ τίνα βωμὸν ὑβρισταί;
ποῖα κάκ' οὐ τελέοισ'; εἴθ' ὤφελε μή ποθ' ἱκέσθαι
σκαιοσύναν ἐπὶ τοιαύταν γένος ἀμόν· ἰώ, ζωὰν τί δή,
πικρὲ δαῖμον, πόρες ἄμμιν ἔχειν,
ἀλλ' οὐ φθάσαις Αἴδου τέλος;

ἀλλοφύλοις ὧν ἀθέοις ὑπακούοισαν πάτραν, στρ. η'
δούλαν τιν' ὡς, ἀστῶν τ' ἀρετὰν ὑπ' ἀνάγκας
εἰσορῶντες τειρομέναν δακεθύμοι', οὔτε τιν' ἄμμες ἀρωγὰν
οὔτε παραγορίαν ἔμπας φέρειν
ἄθλιοι ἀρκέσαμεν,
ὀδύνας θελκτήριον
τᾶς διανταίας ἄκος.

Ahi non il sangue nostro e non la vita
Avesti, o cara; e morto
Io non son per la tua cruda fortuna.
Qui l' ira al cor, qui la pietade abbonda:
Pugnò, cadde gran parte anche di noi:
Ma per la moribonda
Italia no; per li tiranni suoi.
Padre, se non ti sdegni,
Mutato sei da quel che fosti in terra.
Morian per le rutene
Squallide piagge, ahi d' altra morte degni,
Gl' itali prodi; e lor fea l' aere e il cielo
E gli uomini e le belve immensa guerra.
Cadeano a squadre a squadre
Semivestiti, maceri e cruenti,
Ed era letto agli egri corpi il gelo.
Allor, quando traean l' ultime pene,
Membrando questa desiata madre,



ὦ φίλα θρέπτειρα, σέθεν δ' ὕπερ οὐκ ἔτλα θανεῖν ἀντ. η'
ψυχάν τις αἰχμαῖς ἀνδροφόνοισι προτείνων·
σαῖσι δ' ἐν λώβαις σόος εἶμ'. ἑλέτω θυμὸν χόλος ἠδὲ καὶ οἶκτος,
οὕνεκα μαρνάμενοι πλεῖστοι πέσον
οὐχ ὑπὲρ Ἰταλικᾶς
φθινάδος γᾶς Ἰταλοί,
ἀλλὰ τῶν κείνᾳ ζυγὸν

ἔχθιστον ἐπ' αὐχένι θέντων. ὦ πάτερ ἐπ. η'
ἀμετέρων μέγ' ἀοιδῶν ἔξοχε, ταῦτ' ἐπιδὼν
εἰ σὺ χόλῳ φρένα μὴ δάκνει, φύσιν
ἦ ῥα νέαν μεταμεῖψαι
φαμί σε τᾶς προτέρας ἂν ζωὸς ἐών ποτ' ἔφαινες·
τηλεπόρου γὰρ ἀπώλοντο Σκυθίας καθ' ὁδοὺς δυστερπέας
Ἰταλῶν φέρτατοι, οὔ τι τύχας,
αἰαῖ, τοιαύτας ἄξιοι·

τοῖς ἁμᾷ δυσχείμερος ἄλγεα πόρσυν' οὐρανός, στρ. θ'
ἀνδρῶν δ' ἁμᾷ θηρῶν τ' ἀπερείσιος ὕβρις·
ἡμίγυμνοι δ' ὡς χαμαὶ ἰσχνὰ μέλη, χρανθέντα φοναῖσι, κατ' ἴλας
θέσσαν, ὑπῆν νοσεροῖς πάχνα λέχος.
ἀλλ' ὅτε δή σφιν ἄγεν
Ἀΐδας τέρμ' ἔσχατον,
φιλτάτας μεμναμένοι

Diceano: oh non le nubi e non i venti,
Ma ne spegnesse il ferro, e per tuo bene,
O patria nostra. Ecco da te rimoti,
Quando più bella a noi l' età sorride,
A tutto il mondo ignoti,
Moriam per quella gente che t' uccide.
Di lor querela il boreal deserto
E conscie fur le sibilanti selve.
Così vennero al passo,
E i negletti cadaveri all' aperto
Su per quello di neve orrido mare
Dilacerâr le belve;
E sarà il nome degli egregi e forti
Pari mai sempre ed uno
Con quel de' tardi e vili. Anime care,
Bench' infinita sia vostra sciagura,
Datevi pace; e questo vi conforti
Che conforto nessuno
Avrete in questa o nell' età futura.
In seno al vostro smisurato affanno
Posate, o di costei veraci figli,

ματρὸς εἶπον· φεῦ, τί κελαινεφέων πορθούμενοι ἀντ. θ'
πλαγαῖς θυελλᾶν θνᾴσκομεν, οἷσι προσῆκεν,
ὦ πάτρα, σοῦ καδομένοισι πεσεῖν χάρμαις ἐνὶ κυδιανείραις;
νῦν δ', ἐρατῶπις ὅτ' αἰὼν προσγελᾷ,
φθειρόμεθ' οἷδε σέθεν
δίχα, παντᾷ νώνυμοι,
σῶν ὑπὲρ λυμαντόρων.

τοιαῦτ' ὀλοφυρομένων κρυσταλλοπὰξ ἐπ. θ'
ἄϊε γαῖα λιγύφθογγοί τ' ἀνέμοισι νάπαι.
τάνδε βίου μὲν ἀπαλλαγὰν λάχον·
σώματα δ' οἰκτρὰ θανόντων
ἅμ πεδίων χιονοβλήτους πλάκας ὀκρυοέσσας
δάπτον ὑπαίθρια θῆρες· δόξα δ' ἴσα τὸν ἔπειτ' αἰεὶ χρόνον
τοῖσι λαμπροῖς ἀγαθοῖς θ' ἕπεται,
δειλοί θ' ὁμοίως εἴ τινες

ἦσαν αὐτῶν καὶ κακοί. ὦ μεγαλᾶν δὴ συμφορᾶν στρ. ι'
κύρσαντες ἔμπας στέργετε· πήμασι δ' εἴπερ
μήτε νῦν μήτ' εἰσοπίσω ποτὲ παιὼν ὑμετέροισι πελάσσει,
τλᾶτε τόδ' αὐτὸ μαθόντες καρτερεῖν.
σῖγα τρέφοντες ἄχος
ἀνέχεσθ' ἐξαίσιον,
γνήσι' ὦ τέκν' ἀθλίας

Al cui supremo danno
Il vostro solo è tal che s' assomigli.
Di voi già non si lagna
La patria vostra, ma di chi vi spinse
A pugnar contra lei,
Sì ch' ella sempre amaramente piagna
E il suo col vostro lacrimar confonda.
O di costei ch' ogni altra gloria vinse
Pietà nascesse in core
A tal de' suoi ch' affaticata e lenta
Di sì buia vorago e sì profonda
La ritraesse! O glorioso spirto,
Dimmi: d' Italia tua morto è l' amore?
Dì: quella fiamma che t' accese, è spenta?
Dì: nè più mai rinverdirà quel mirto
Ch' alleggiò per gran tempo il nostro male?
Nostre corone al suol fien tutte sparte?
Nè sorgerà mai tale
Che ti rassembri in qualsivoglia parte?

ματρός, ᾇ πάντων ὑπάτοισι δαμασθείσᾳ πόνοις ἀντ. ι'
οὐκ ἔστι πλὴν ὑμῶν ὃς ὁμοῖα πέπονθεν.
οὐ γὰρ ὑμῖν μέμφεται Ἰταλία, κείνῳ δ' ὃς ἐπῶρσ' ἀέκοντας
πατρίδι δύσθεος ἀντᾶραι μάχαν·
ὧν ἕνεκ' ἀχθομένα
δρόσον αἰεὶ δακρύων
ὔμμι κοινὰν εἴβεται.

πῶς ἂν πολυπήμονος αἰδῶ πατρίδος ἐπ. ι'
τᾶς πρὶν ὑπείροχον ἄλλων κῦδος ἀειραμένας
ἐν πραπίδεσσι λάβοι τις ἐκγόνων,
ὅς κ' ἐρύσαιτο κλύδωνος
ἐκ μέλανος βαθυδίνου τριβομέναν καμάτοισιν;
εἰπέ μοι, ὦ μακάρων τιμαῖσιν ἀοιδὲ μιγεὶς ὑψιθρόνοις,
ᾇρα σᾶς οἴχεται Ἰταλίας
πρόρριζος ἐκ θνατῶν ἔρως;

ᾇρ' ἀπέσβακ' ἔνθεος ἃ σὲ κατεῖχ' ὁρμὰ φρενῶν, στρ. κ'
οὐδ' αὖθις ἀμᾶν, ὡς τὸ πάροιθ', ὀδυνάων
μαλθακὸν κούφισμα φέροισ' ἀναθαλήσει ποτ' ἐν ἀνδράσι μύρτος;
ᾇρα χαμαιπετέων ἄμμι φθίνει
πᾶσα χάρις στεφάνων,
παρόμοιον δ' οὐδαμοῦ
σοί τιν' αὖ θρέψει πατρίς;

In eterno perimmo? e il nostro scorno
Non ha verun confine?
Io mente viva andrò sclamando intorno:
Volgiti agli avi tuoi, guasto legnaggio;
Mira queste ruine
E le carte e le tele e i marmi e i templi;
Pensa qual terra premi; e se destarti
Non può la luce di cotanti esempli,
Che stai? lèvati e parti.
Non si conviene a sì corrotta usanza
Questa d' animi eccelsi altrice e scola:
Se di codardi è stanza,
Meglio l' è rimaner vedova e sola.

LEOPARDI.

ἦ ῥ' ἐσαεὶ κείμεθα; μέτρον ἄρ' οὐκ ἔσται ψόγου; ἀντ. κ'
ζωᾶς ἔγωγ' ἔστ' ἂν μετέχω, τάδε παντᾷ
πᾶσι καρύξω· προγόνων ἀρετᾶς μνάσασθε, γένος πολὺ χεῖρον·
λείψαν' ὁρᾶτε τάδ' ὧν κεῖνοι κάμον,
Πιερίδων τ' ἐρατᾶν
μελέτας ἱστῶν θ' ὑφὰς
ἔργα τ' εὐμόρφων λίθων

ναούς τε θεῶν· χθονὸς ἴσθ' οἵας πέδον ἐπ. κ'
στείβετε· κυδαλίμων δ' εἰ πᾶν φάος ἐκ πατέρων
ὔμμι μάταν κέχυται, ποῖ χρὴ μένειν;
ἔκτοποι ἔρρετε γαίας·
οὐ γὰρ ἔοικεν ἀνάνδροις θρέμμασι πατρίδ' ὁμιλεῖν
ἃ μεγαλόφρονα παίδευσ'· εἰ δὲ γενήσεται ἀψύχων λιμήν,
κρέσσον' αἴσά κε λαχοῖσα πέλοι
χήρα τ' ἐρήμα τ' εἰσαεί.

ΤΩΙ ΕΝ ΒΟΝΩΝΙΑΙ ΠΑΝΕΠΙΣΤΗΜΙΩΙ

ΕΚΑΤΟΝΤΑΕΤΗΡΙΔΟΣ ΟΓΔΟΗΣ ΕΟΡΤΗΝ ΑΓΟΝΤΙ.

Μᾶτερ ἀρχαία σοφίας, ὅθεν Εὐρώπᾳ πάλαι στρ. α'
τᾶς ὀρθοβούλου φῶς Θέμιτος νέον ὦρτο,
ἐργμάτων ἴαμα βιαιοτάτων, στυγνᾶν ἐλατήριον ἀτᾶν,
Εὐνομίας ἀγανὸς κάρυξ βροτοῖς,
χείματος ὡς δνοφεροῦ
ὅτε φοινικάνθεμον
ἦρ πεδάμειψαν γύαι,

φαιδίμας χαῖρ' Ἰταλίας θύγατερ, τὰν ἀστέων ἀντ. α'
πρέσβιστον ἐξ ἄλλων ἐφίλασεν Ἀθάνα,
παῖς θ' ὁ Λατοίδας, ὅ τ' ἐλευθερίᾳ χαίρων πολιάοχος Ἑρμᾶς·
νῦν σε μάλ' ἀδυπνόοις δαιδαλλέμεν
καίριον εὐλογίαις,
ὄθ' ἑορτᾶς γεύεαι
παντοσέμνου χάρματος·

Ὧραι γὰρ ἐπερχόμεναι θνατοῖς Διὸς ἐπ. α'
εἰς ἑκατοντάδας ὀκτὼ δὴ τελέας ἐτέων
δόξαν ἐϋστέφανον Βονωνίας
μαρτυρέοντι γεγάκειν·
τᾷ καὶ ἀγαλλόμεναι ξείνων πολυγαθέες ἵλαι
παντοδαπᾶν ἀπὸ πεμφθεῖσαι πολίων ποτινίσονθ' ἑστίαν
φιλτάταν Πιερίδεσσι, τεὰν
κοινᾷ κλεΐξοισαι χάριν.

φαντὶ Τυρσανοὺς μὲν ἀρηϊφίλους κτίσσαι βάθροις στρ. β'
ἐν τοῖσδε Φελσίναν, ὅθι χεῦμα Σαβάνας
γείτονος Ῥήνῳ πεδίον βρέχει Ἀπεννινόθεν εὐρυμέτωπον,
πίονα δῶρα τρέφον Δαμάτερος
οὐδ' ἀπαδὸν Βρομίῳ·
ὅσα δ' ἔστ' Αἰνειαδᾶν
ἐν λόγοις, σιγάσομαι·

ΤΩΙ ΕΝ ΒΟΝΩΝΙΑΙ ΠΑΝΕΠΙΣΤΗΜΙΩΙ

ΕΚΑΤΟΝΤΑΕΤΗΡΙΔΟΣ ΟΓΔΟΗΣ ΕΟΡΤΗΝ ΑΓΟΝΤΙ.

Μᾶτερ ἀρχαία σοφίας, ὅθεν Εὐρώπᾳ πάλαι στρ. α'
τᾶς ὀρθοβούλου φῶς Θέμιτος νέον ὦρτο,
ἐργμάτων ἴαμα βιαιοτάτων, στυγνᾶν ἐλατήριον ἀτᾶν,
Εὐνομίας ἀγανὸς κάρυξ βροτοῖς,
χείματος ὡς δνοφεροῦ
ὅτε φοινικάνθεμον
ἦρ πεδάμειψαν γύαι,

φαιδίμας χαῖρ' Ἰταλίας θύγατερ, τὰν ἀστέων ἀντ. α'
πρέσβιστον ἐξ ἄλλων ἐφίλασεν Ἀθάνα,
παῖς θ' ὁ Λατοίδας, ὅ τ' ἐλευθερίᾳ χαίρων πολιάοχος Ἑρμᾶς·
νῦν σε μάλ' ἀδυπνόοις δαιδαλλέμεν
καίριον εὐλογίαις,
ὄθ' ἑορτᾶς γεύεαι
παντοσέμνου χάρματος·

Ὧραι γὰρ ἐπερχόμεναι θνατοῖς Διὸς ἐπ. α'
εἰς ἑκατοντάδας ὀκτὼ δὴ τελέας ἐτέων
δόξαν ἐϋστέφανον Βονωνίας
μαρτυρέοντι γεγάκειν·
τᾷ καὶ ἀγαλλόμεναι ξείνων πολυγαθέες ἵλαι
παντοδαπᾶν ἀπὸ πεμφθεῖσαι πολίων ποτινίσονθ' ἑστίαν
φιλτάταν Πιερίδεσσι, τεὰν
κοινᾷ κλεΐξοισαι χάριν.

φαντὶ Τυρσανοὺς μὲν ἀρηϊφίλους κτίσσαι βάθροις στρ. β'
ἐν τοῖσδε Φελσίναν, ὅθι χεῦμα Σαβάνας
γείτονος Ῥήνῳ πεδίον βρέχει Ἀπεννινόθεν εὐρυμέτωπον,
πίονα δῶρα τρέφον Δαμάτερος
οὐδ' ἀπαδὸν Βρομίῳ·
ὅσα δ' ἔστ' Αἰνειαδᾶν
ἐν λόγοις, σιγάσομαι·

Μοῖσα, τὶν δ' ἀρχὰ γλυκερῶν ὑποκείσθω φθεγμάτων, ἀντ. β'
τηλοῦ τις ὡς στίλβων ἀριδείκετος ἀστήρ,
οὐκ ἀμαυρωθὲν γενεαῖς ἅμα πολλαῖσιν κλέος Ἰρνερίοιο[1]·
λαμπάδα κεῖνος ἀνέσχ' ὀρθὰν Δίκας,
σπέρματα βαιὰ πυρὸς
ἀνεγείραις κείμενα
δαρὸν ἐν ψυχρᾷ σποδῷ·

τεθμῶν ὃς ἄνοιξε θεοδμάτων ὁδοὺς ἐπ. β'
τοὺς ὁ μεγιστόπολις Ῥώμας ποτὲ θῆκεν ἄναξ[2]·
ἀλλὰ τότ' ἀξυνέτοις ἑρμηνέων
κάρτ' ἐχάτιζον ἐν ἀστοῖς·
ἦν τε νέφος βαρὺ δὴ λάθας, πρὶν ἐκεῖνος ἀναστὰς
εὐθύπορον στίβον ἐξαγήσιος ἀγεμόνευσ' ἀψευδέος,
παντὶ ἔργῳ κανόνας προφέρων
στάθμᾳ παλαιᾷ συμμέτρους,

τῶν τε πρὶν ῥήτρας ἀνέδειξε νόμων. οὐδ' ὀρφαναῖς στρ. γ'
καρποῖο βουλαῖς ἅπτετο· τοῦ γὰρ ὄπισθεν
ἄλλος ἐξ ἄλλου διαδεξάμενοι, ξανθᾶς φλογὶ δᾳδὸς ὁμοῖον,
τόνδε θεμίσκοπον ἀθληταὶ πόνον,
ἄνδρας ἀϊδροδίκας
προδιδάσκοντες σοφῶς
ἄγον εἰς εὐκοσμίαν·

[1] Irnerius (circ. A.D. 1080—1118), 'merito appellatus lucerna iuris, tanquam primus illuminator nostre scientie' (Diplovataccius ap. Sarti P. II. 263).

[2] Iustinianus.

χρὴ δὲ παύρους γαρύειν ἐν πολέσι· ζεῦξον λύρᾳ ἀντ. γ'
τὸν χρυσέαις γλώσσαις χαρίτεσσι κλεεννόν[3].
μηδ' ἀοιδᾶν ἄμμορος ἔστω ὁ θησαυρὸς θεμίτων βαθυμῆτα
πὰρ προτέροισι κλύων[4], δισσοῖς[5] ἁμᾶ
τοῖσιν ἐπωνυμίαν
θέσαν αἶδ' ἕδραι πυλᾶν
τᾶν Ῥαβενναιᾶν ἄπο·

πολλῶν δέ με καιρὸς ἐρύκει χἀτέρων ἐπ. γ'
μνάμονα, τῶν ἀπ' ἄωτον δρεψόμενος παπίδων
νίσετο πανταχόθεν πλειστόμβροτος
ἐς πολύκοινον ὅμιλος
ὀμφαλὸν Αὐσονίας· ξυνὰν μὲν ὅπ' ἦλθον ἰέντες[6]
ὅσσοι Ἰαπυγίας τ' ἐντὸς πυμάτας πεδίων θ' ἱδρυνθ' ἵνα
πλασίαν Ἄλπεσι γᾶν ὕδασιν
ἄρδει ταχυρρώστοις Πάδος·

[3] Bulgarus, 'os aureum'.

[4] Martinus Gosia, 'copia legum'.

[5] Jacobus de porta Ravennate; Hugo de porta Ravennate: quo cognomine significatur ea Bononiae regio in qua habitabant, cum quattuor priscae urbis regiones a portis quattuor maioribus nomina invenerint (porta Ravegnana, porta Procolo, porta Pieri, porta Stieri).—De his quattuor doctoribus, qui saeculo post natum Christum duodecimo medio Bononiae florebant, post alios dixit Savigny, Gesch. des römischen Rechts im Mittelalter, IV. 66 sqq.

[6] 'Citramontani' Universitatis Bononiensis discipuli, olim in Nationes septemdecim divisi.

ἦλθε δ' ἀνδρῶν ἀλλοθρόων ἀναρίθμητ' ἔθνεα[7], στρ. δ'
οἳ Γαλλίας ναῖον πλάκας, ἠδὲ Τάγοιο
πὰρ μελαμφύλλοιο ῥοαῖσι, πολύπλαγκτός θ' ἵνα κίδναται Ἴστρος,
οἵς τ' ὀρέων καθύπερθ' Ἑρκυνίων
εἰς ἅλα Σαρματικὰν
τέτατο στάθμ', οἵ τ' ἔχον
νᾶσος Ἄγγλων ἐσχάτας,

πόντιος τᾶν Ὀρσοτρίαινα φύλαξ οὐ λάθεται· ἀντ. δ'
τὰς δή ποτ' ἐλθὼν τοῦδε γόνος πτολιέθρου[8],
καλλίπυργος τοῦ φάτιν οἶδε λόγοις Ὀξωνία ἐν πολιοῖσι,
θεσμοφόροιο μερίμνας εὔσκοπον
σπεῖρε διδασκαλίαν·
ἕτερον δ' οὐκ ἄλλοθεν
ἄνδρα τεθμοὺς εἰδότα[9]

[7] 'Ultramontani', ab omnibus fere Europae partibus Bononiam confluentes, quorum Nationes censebantur duodeviginti.

[8] Vacarius, qui cum Angliam circ. A.D. 1140 venisset, iurisprudentiae studia Oxonii instituit.

[9] Franciscum Accursii, doctorem Bononiensem, clarissimi glossatoris filium, in Angliam vocavit rex Edvardus I., qui a Palaestina rediens A.D. 1273 Bononiam devertit. Regis 'secretarius', 'familiaris', 'clericus' appellabatur Franciscus, qui decennium in Anglia commoratus cum multa ac gravissima negotia prudenter gessisset, in patriam reversus docendi munus Bononiae denuo suscepit.

δουρίκλυτος εὕρετο ποιμὰν Ἀγγλίας, ἐπ. δ′
εὖθ' ἁλιερκέα πρὸς πάτραν Συρίαθεν ἰὼν
πὰρ σέ, Βονωνία, ἵκετ', εἶδέ τε
μυριοπληθέος ἤβας
φῦλα τόπων ἀπὸ πάντων σαῖς παρεόντ' ἐν ἀγυιαῖς,
ἀστυνόμοιο Δίκας σπεύδοντ' ἀΐειν· σοφίας δ' ἐξαιρέτου
φιλτάταν Ἡσυχίᾳ δύνασιν
θάμβαινεν αἰχματᾶν ἀγός.

οὐδὲ μάν, τὸν Φιλυρίδας ποτὲ θρέψ' ἐν Παλίου στρ. ε′
βάσσαισι Χείρων, νωδυνίας γ' ἕνεκ' ἐσλῶν
τεκτόνων γυιαρκέος ἄστεϊ τῷδ' Ἀσκληπιὸς ἔσχε τι μομφάν,
ἀμφὶ τομαῖς[10] κλέος ἄλλοις μὲν πορών,
αὐτόματον δ' ἑτέρῳ[11]
συνέμεν νεύρων φύσιν,
τὰν θεοὶ κρύψαν πάρος·

[10] Mondino ('Mundinus'), qui circ. A.D. 1315 Bononiae docebat, humani corporis anatomiam in primis illustravit; unde schola medicinae Bononiensis, iampridem inclyta, magis etiam celebrari coeperat.

[11] Ludovico Galvani.

ἐντὶ δ' οἷς Μαίας τόκος ὤπασε, Κυλλάνας σκοπός, ἀντ. ε'
ξεινᾶν τε γλωσσᾶν κλαΐδας[12], ἠδὲ σοφιστᾶν
τῶν πάλαι γνώμας φράσαι ὀψιγόνοις· τοῦ[13] δ' ἔξοχος ἦν τότε φάμα,
ὃς μετ' Ἀριστοτέλει' ἴχνη βεβώς,
ἀντία δ' ἐξενέπων
Ἄραβος κλεινοῦ φραδαῖς,
τάνδ' ἐκύδανεν πόλιν·

ἴστω δὲ καὶ ἄλλον ἔχοισ' ἐξ ἀρσένων ἐπ. ε'
οὐκέτ' ἀραρότα κόμπον· δεῖξε γὰρ ἁ Κρονίδα
παρθένος ἐνθάδε πλεῖστον παρθένοις
οὐ πινυτᾶς φθονέοισα
φροντίδος· οὐδ' ἄρα κούρας[14] πάντ' ὄνυμ' ἐξαπόλωλε
πατρόθεν ἀμφιπόλου τεθμῶν, μελετήμασι[15] πατρῴοις ζυγέν·
ἄλλα τ' ἄλλαις μέλεν· ἦν δέ τις[16] ἂν
φωνᾶς κελεύθους Ἑλλάδος

[12] Mirae saltem loquendi facultatis caussa commemoretur Josephus Mezzofanti.

[13] Pietro Pomponazzi ('Pomponatius'), qui postquam A.D. 1512 Bononiam venerat ibi librum 'De Immortalitate Animae' scripsit; vir inter philosophiae studiosos qui post renatam, ut aiunt, litterarum scientiam exstiterant idcirco memorabilis, quod Aristotelis de anima doctrinam ad normam Alexandri Aphrodisiensis potissime interpretans princeps ausus est Averrois (Ἄραβος) rationem impugnare.

[14] Novella d' Andrea, A.D. 1312 nata; cui pater Johannes Andreae, iuris canonici doctor nobilissimus, praelectiones habendas interdum delegabat. Velo ab auditoribus discreta virgo docuisse traditur.

[15] 'Novella in Decretales'. Id nomen libro suo posuit Johannes Andreae, ut Novellae et coniugis et filiae memoria cum novitatis significatione coniungeretur.

[16] Clotilda Tambroni (A.D. 1758—1817), Josephi Tambroni poetae et historici soror, litterarum Graecarum disciplinae in Universitate Bononiensi praefuit.

ἐξελίσσοισαν γλεφάροις ἴδε Παλλὰς μειλίχοις. στρ. ς′
τίς πάντα κ᾽ ὧν φθέγξαιθ᾽ ὅσα τοῖσδε πολίταις
ἔργα λεύσσειν ἱμερόεντα βαθύζωνοι Χάριτες παρέδωκαν,
ἢ Παρίοιο λίθου σμιλεύματα,
κόσμον ὁποῖα τάφου
ὁ μελαμπέπλων λάχεν
ἱρέων ἀρχαγέτας[17],

ἠὲ ναοὺς πλινθυφέων τε μελάθρων παστάδας ἀντ. ς′
ἐν Σειρίου θάλπει μαλερῷ σκιοέσσας,
ποικιλᾶν ἢ θαύματα πολλὰ γραφᾶν; θεῖος δ᾽ ἄρ᾽ ὅτ᾽ ἀνδράσιν
ἔλθῃ,
τοῖσδε τὰ καὶ τὰ καλῶν ἄμφαν᾽ Ἔρως·
οἷον ἐφαμερίων
ἀρετᾶς συμπράκτορα
φᾶ τις ἔμμεν καρδίαις

ταύτας ποτ᾽ ἀοιδὸς[18] ἀν᾽ ἕδρας εὐκλεής· ἐπ. ς′
τὸν καὶ ἑοῦ πατέρος τιμᾷ προσέμιξε σέβων
κεῖνος[19] ὃς οἰχομένων ψυχαῖς ἴδεν
κεκριμέναν τρίχα μοῖραν·

[17] S. Dominicus, in aede Bononiensi sepultus.

[18] Guido Guinicelli, poeta Bononiensis (circ. A.D. 1260), quem appellat

[19] Dante, Purg. XXVI. 97, 'il padre | Mio, e degli altri miei miglior, che mai | Rime d' amore usâr dolci e leggiadre'.

δαιμονίοιο γὰρ ὅσσοις κάλλεος ἔμπετεν οἶστρος,
τῶν χθαμαλῶν λελάθονθ'· ὡς χἀ φρασὶν Οὐρανιώνων ἀμβολὰς
συλλαβεῖν μαιομένα βροτέαν
φόρμιγγ' ἀπέρριψεν χαμαί[20].

καὶ πεδ' ἄλλων σοῖσι, Βονωνία, ἀστοῖς Ἰταλῶν στρ. ζ'
ἦν καὶ τόδ' εὖχος, χαλκοκρότοισι μιγέντας
ἐν μάχαις κτίσσασθαι Ἐλευθερίας κρηπῖδ' ἀδαμαντοπέδιλον,
ἀστραβὲς ὄλβου ἔρεισμ' Οἰνωτρίᾳ,
ὡς ἀπάλαλκε θεὸς
τὸν ὑπὲρ κρατὸς λίθον
Ταντα λείου πήματος[21],

δῶκέ θ' ὁρμὰν ἀλλοδαποῦ καταπαῦσαι δεσπότου, ἀντ. ζ'
σᾶμ' ἀμβοάσαντας περ' ἁμαξοφόρητον[22].
βᾶθι δή, Μοίσαισι φίλα, μεγάλων ταῖσδ' ἐν κορυφαῖσιν ἐπαίνων·
παισὶ γὰρ ὡς παρὰ κεδνοῖς ἄφθιτος
οὐ καταφυλλοροεῖ
τοκέων μνάμα, φρενῶν
ἄνθος αἰδοιέστατον,

[20] S. Caecilia, qualem ostendit Raphaelis Urbinatis tabula in Artium Academia Bononiensi servata.

[21] Cum Fredericus I. (Barbarossa) a foederatis Italiae septentrionalis civitatibus A.D. 1176 devictus est.

[22] 'Carroccio', malus celsus in plaustro vectus, taeniis duabus albis a vertice defluentibus insignis et Christi in cruce pendentis effigiem medius ferens, quo tanquam signo militari in proeliis utebantur Itali.

τοιόνδε τὶν εὐσεβὲς ἄγκειται γέρας ἐπ. ζ΄
ματροπόλει παρ' ἀποίκων· οἷα Καληδόνιον
καὶ τόδ' ὑπεὶρ ἅλα πέμπεται μέλος,
οἴκοθεν οἴκαδ' ἔπουρον[23],
τηλεπόροι' ἀπὸ Κλώτας[24] Ἰταλὸν ἐς πρυτανεῖον·
φαντὶ δὲ καὶ Βορέαν ἰοστεφάνων ἀπ' Ἀθανᾶν ἁρπάσαι
τὰν Ἐρεχθηΐδα, καλλιρόου
παίζοισαν Ἰλίσσου πέλας.

[23] Ad exemplar Universitatis Bononiensis a Nicolao V., Pontifice Summo, A.D. 1450 constituta est Universitas Glasguensis, quam instituta ann. 1482 condita vigere praedicant 'per accepta privilegia matris nostre Studii Bononiensis, omnium universitatum liberrime'.

[24] Clyde flumen.

The Reign of Youth.

θνητῶν δ' ὅφρα τις ἄνθος ἔχῃ πολυήρατον ἥβης
κοῦφον ἔχων θυμὸν πόλλ' ἀτέλεστα νοεῖ.

SIMONIDES.

WHEN Youth from regions of eternal spring
On earth's expecting vales descended,
The laughing Hours, that round attended,
Proclaimed the Faery King.

With graceful vigour and elastic bound
He lightly touched the ground,
As though his feet could leave behind
The pinions of the wind.
His breath had Nature's fresh perfume,
His cheek her vivid bloom,
Rich as the roses that his temples crowned.

ΗΒΑ ΣΤΕΦΑΝΑΦΟΡΟΣ.

While yet the flower of Youth's sweet hour
To mortal man remaineth,
Full many a dream and fleeting scheme
His light heart entertaineth.

From SIMONIDES.

Εὖτε κάπους εἴαρος ἀθανάτου στρ. α'
ἐκλιποῖσ' Ἥβα κατέβα χθονὸς ἐς βάσσας γλυκείαις ἐλπίσι θαλπομένας,
αὐτίχ' Ὡρᾶν δὴ χορὸς ἀδὺ βλέπων, κύκλῳ ποσὶν θείοις ὀπαδός,
ποικιλομάχανον ἀγλαϊτας κάρυξ' ἄνασσαν.
ἁ δ' ἐλαφρῶν γονάτων ὁρμαῖς ἔκυρσεν εὐρύθμοις
γᾶς, πτέρ' ὥσπερ κεν θυελλᾶν ὠκύθοος παραμειψαμένα,
πνεῖ δ' ἀκραιφνὲς πνεῦμα, χροιᾶς δ' ἄνθος φλέγει πορφυροῦν,
ῥοδινὸν ὥσπερ στέμμα κρατός.

A sceptre in his hand was seen
Wreathed with budding evergreen:
His mantle, as it flowed,
The vernal year's impictured beauty showed.

And, lo! from bowers and dells,
Where'er within their cells
The Passions lay entranced,
Swift on the plain,
His subject train,
The loveliest of their tribe advanced,
To keep the Faery Reign.

First, newly wakened by the breeze and wave,
The young-eyed Wonder sallied from his cave.
With step abrupt and wildered gaze
He trod the scene's mysterious maze.
Now he marked with coy delight
The sun all-glorious on the mountain height;
Now from the glancing rays
Withdrew his timid sight,
Again recoiling as the lake displayed
His unknown image, and across the glade
Moved, like an airy sprite, his lengthened shade.

σκᾶπτον ἐν χερσὶν φορέοισα πρέπει ἀντ. α'
ἀμφὶ δάφνᾳ πλεχθὲν ἀειθαλέι, στολμὸς δ' ἀγαυᾶς ἀμφιχυθεὶς
χλαμύδος
δεῖξε φοινικάνθεμον εἰαρινᾶς ὥρας γραφᾶν τέχναισι κάλλος.
ἠνίδε, φυλλοκόμων λιμένων χλωρῶν τ' ἀπ' ἀγκῶν
δαίμονες οἳ πρὶν ὕπνου θέλκτροις ἔκειν θ' ὑπάκοοι
νῦν ἀνάξαντες ταχύνοισ' ἅμ πεδίον, μαλακαῖσι θεᾶς
ἐντολαῖς εἴκοντες, ἀφθάρτου γένους ἔξοχοι,
κράτος ἑορτάζοντες Ἥβας.

πρῶτος, αὔραις καὶ ψιθυροῖς ὕδασιν κοίτας ἐγερθεὶς ἀρτίως, ἐπ. α'
ὄμμασι φαιδρὰ βλέπων Θαύμας μόλεν κευθμῶνος ἀπ' ὠγυγίου
σπερχνὰ μὲν στείχων, δεδορκὼς δ' ὥς τις ἀτυζόμενος,
θεσπεσίαις γᾶς ἐν κελεύθοις· ἄλλοτ' αἴθονθ' Ἅλιον ἐν κορυφαῖς
αἰδοῖ πρόσιδ', ἄλλοτε δ' ὄμμα τρέσαις ῥιπᾶν ἀπεῖρξεν,
φρίξε δ' ἐν λίμνας κατόπτρῳ θ' αὐτὸν ἄϊδρις ὁρῶν,
καὶ σκιὰν μακυνομέναν ὑπὸ δένδρ', ὥσπερ εἴδωλον, πέτεσθαι.

He saw—he heard the trembling
Her cunning fingers, and he hiec
Till soon, o'ertaken by the tuneft
Back to her side the unconscious
Then, as awhile she stayed her s
On that strange shell, in playful
He dared a mimic blow to try;
Yet still, like one pursued,
Had half retreated ere it made r
And when her touch drew forth
By viewless Echo mocked from
On every side at every sound
Starting he looked around;

τίς δὲ φράζοι χ' οἷα δαμεὶς ἔπαθεν στρ. β'
εἴτε Μοίσᾳ πρῶτον ὑπαντίασεν φόρμιγγ' ἐχοίσᾳ ποικιλόγαρυν; ἴδεν·
δακτύλοις ἤκουσ' ἐλελιζομένας χόρδας σοφοῖσιν· φεῦγε ταρβῶν·
ἀλλὰ γὰρ ἁρμονίας ἐπαοιδαὶ δαξίθυμοι
δέσμιον ἀμφιβαλοῦσαι μῆτιν ἔφθασαν μέλος,
εἶρπεν ἀγνὼς αὖ παρ' αὐτάν· ἁ δ' ὅτ' ἐπέσχε τέως γλυκερὰν
Μοῖσ' ἀνάγκαν, αὐτὸς ὡς μιμούμενος κουφόνοις
φρασὶν ἔτλα φόρμιγγα πλᾶξαι·

εἶτα πλάξας, οἷα διωκόμενος, ἀντ. β'
εὐθὺς ἐς τοὔπισθε μάλ' ὦχ' ὑπεχώρει, πρίν νιν ἀντιφθεγγομέναν κελαδεῖν·
Μοῖσα δ' ὡς καὶ μεῖζον ἔπεισε λύραν ψάλλοισα φωνεῖν, κλάγξε δ' Ἀχὼ
φθέγμασιν ἀντιτύποις πέλας ἐξ ἄντρων ἄδαλος,
πάντοσε βλέμμα τρέπων πάσαις ψόφων διαλλαγαῖς
οὓς ὑπεῖχ' ὡς δὴ φοβαθείς, εἶτα γελάσμασιν ἀσυχίοις
ἔπρεπ' ὡς λύσαις μέριμναν, καὶ πτοαθεὶς πάλιν
κτύπον ἐπάπταινεν νέορτον.

Next, o Youth, to welcome thee,
Sport prepared his jubilee.
From thickets pearl'd with morning dew
He on impatient tiptoe sprang to view
With shrill uplifted horn, and called his sylvan crew.
Redoubling shouts before them sent,
Forth they rush from his greenwood tent
With their high-flourished weapons of merriment,
Thy circled throne to greet.
Triumphal in air
A standard they bear
With many a garland decked, the prize of many a feat.

At the sight, a transport showing
From the bosom fresh and glowing,
Through the bright eye overflowing,
Loose or linkèd hand in hand,
Mirth leads up her frolic band,
With obliquely darted smiles
Watching 'gainst invited wiles.

δευτέρα δ', Ἥβα, σὲ προσερχομέναν στέψοισα τιμαῖς Παιδία
ἐπ. β'

εὐτρέπισ' ἀγλαιΐαν· θάμνων δ' ἐέρσαις ἔκθορε λευκοφαῶν,
δακτύλων δ' ὁρμῶσ' ἐπ' ἄκρων ὕψι κέρας λιγυρὸν
ἦρε καλοῖσ' ἴλαν κυναγόν· τοὶ δ' ἄρ' αὐλᾶς ἐκ χλοερᾶς σύμενοι
διπλῷ θορύβῳ βέλε' εὔφρονα πάλλοντες κυκλοῖσιν
σὰν ἔδραν, θύρσον τιν' ἄρδην δεικνύμενοι,
μυρίοις νικαφόρον ἐν στεφάνοις, μυρίων ἄθλοις ἀγώνων.

αἶψα δ' ὡς τάνδ' εἶδε Θάλεια θέαν, στρ. γ'
ἄγαγ' εὐγαθῆ χορόν, εἴτ' ἀνέδαν εἴτ' ἐμπλακείσας χερσὶν ἔχοντα
χέρας,
ἔνθεον φαίνοισά τιν' εὐφροσύναν, ἁγνῶν θ' ἁβρῷ κόλπων ἐν ἄνθει
δέργματί θ' ἱμερόεντι δι' ὀφθαλμῶν φαεννῶν·
λέχρια μὲν βέλε' εὐθύμου γέλωτος ἐξίει,
εὐλαβεῖται δ' ἀνθάμιλλον πρὸς δόλον ἐνδιαθρυπτομένα.
ἃ δ' ἄμ' ἠοῖ πολλάκις ψαίρει τε λευροὺς γύας
ὄρεά τ' ἀμβαίνοισα πίνει

Health is there, that with the dawn
Climbs the mountain, skims the lawn,
Oft on nectar feasted high
Borne by Zephyrs from the sky:
Wit, that strikes with gay surprise,
Jollity, that grief defies,
And, loving every touch to flee,
The random-footed Liberty.
With half-shut eyes ecstatic Laughter
Almost breathless totters after;
One hand holds her bending breast,
While t' other points at antic Jest.
Leisure, winding here and there,
Dallies hindmost, heedless where.

Thus, o Youth, to honour thee,
Thus they kept their jubilee.
Thus to greet thee all conspire,
All enchanted, all on fire,
As joys could never fail, and never tire.

Yet hitherward adown the vale,
Where murmurs float upon the scented gale,
Desire was now espied

νέκταρ ἐκπεμφθὲν Ζεφύροις διόθεν, ἀντ. γ'

συμπροθυμαθεῖσ' Ὑγίεια πάρεσθ'· ἥκει δὲ Ματὴρ εὐτραπέλου
χάριτος,

ἃ φθάνει κομψόν τι λέγοισα, πικρᾶς τ' Εὐθυμία κρέσσων ἀνίας,

καὶ πολύπλαγκτος Ἐλευθερία, χειρῶν ἄθικτος,

σὺν δὲ Γέλως ἕπεται βάκχειος, ὅσσε μὲν μύσαις,

πυκνὰ δ' ἀσθμαίνων σαλεύει γυῖα, χεροῖν συνέχων ἑτέρᾳ

κόλπον εἰς οὖδας προπρανῆ, τᾷ δ' ὁμοῦ δεξιᾷ

τὸν ἄτοπον δείκνυσι Μῖμον.

λοισθία δ' εὔκαλος ἀναστρέφεται πολλοὺς δι' αὐλῶνας Σχολή, ἐπ. γ'

ἄσκοπος οἵ κε φέροιθ'. Ἥβα, σὲ δ' αὔξων πᾶς ὅδ' ὅμιλος ἄγει

τάνδ' ἑορτάν, κοινὰ τιμῶν ὄργια γαθοσύνας,

πᾶς ἐνὶ κηληθμῷ τε θελχθεὶς καὶ μίαν ψυχαῖς φλόγα θηκάμενος,

ὡς μήτε τέλους ποτὲ μήτε κόρου ταῖσδ' ἂν μολόντος

ἀδοναῖς. ἀλλ' εἰσορᾶν γάρ φαμι Πόθον

δεῦρο βαίνοντ' ἔνθ' ἀσαφῆ πέτεται φθέγματ' ἄμφ' εὔοσμον αὔραν·

ndering the lonely stream beside
th an unsettled air.
hind him scattered blossoms lay
cked in his eager haste and idly thrown away.
r, light and fickle in the lack of care,
s visionary mind
l pants for objects undefined;
d as, where'er he turns,
e wistful ardour burns,
id the peopled beams
fore him many a phantom gleams
every varied hue;



πὰρ ῥεέθροις δ' οἰοπόλοιο νάπας στρ. δ'

ὡς ἀλύων οἰχνεῖ, ὄπισθε δὲ κεῖνται πορφυρῶν οἱ φθειρόμεναι κάλυκες

ἀνθέων ἃς δρέψε τε καρπαλίμως δρέψαις τ' ἀπέρριψεν μάταιος.

ἄστατα γὰρ φρονέων, ἄτ' ἀγύμναστος μεριμνᾶν,

φαντασίαις τε σύνεστ' οὔτ' οἶδεν ὧν ἐφίεται,

ἀλλ' ὅποι δή κεν τρέπηται, πῦρ τι δι' ἤπατος ἄτον ἔχων

δέρκεται μορφώματ' ἀκτῖσι ξυμμιγέντ' αἰθέρος

ὅσα βροτοῖς ἄμφανεν Ἶρις·

ταῦτα δ' εἰ χεῖρ' ἐκτανύσαις καλέει, ἀντ. δ'

οἴχεται, χειμῶνος ὕβριν χαλεπὰν δείσαντ', ὀνείροις ἶσ' ἀφανιζομένοις·

ἔνθα δὴ ψυχρὸν φρασὶν ἦλθε κρύος, κύκλῳ τε παπταίνων ἀγάσθη,

ἔς τε καὶ ἐξέβαλεν δάκρυον· καὶ μὰν δακρύσαις

ὦκ' ἐπίλασιν ἔχει· στείχει γὰρ ἃ καλὰ πέλας

Ἐλπίς, εὐφραίνοισα Γαῖαν μάντις, ἀεί τι φέροισ' ἀγαθόν·

οἷα δ' ἀντέλλοισα λεύσσει λεπτὸν Ἀὼς καπνὸν

νέφεα τίκτειν χρυσοφεγγῆ,

She dances on the plain,
As if her listening ear
Caught from afar a blithe inviting strain.
She courts the Future. Can he aught deny
To the simplicity of her bespeaking eye?
Between them Fays are on the wing,
And ever through the sky
To her the pledges of his favour bring.
She courts the Future, till successive Hours
In distant light array'd
Look forth from arches opened through the shade
That still is rolling round his misty bowers.

τοῖον ἔξεστ' ἐν πεδίοιο πόαις ὄρχημα λεύσσειν Ἐλπίδος ἐπ. δ'
ὥσπερ ἄρ' οὗς παρέχοισ' εἰ φθόγγον αὐλῶν εὔφρονα τῆλέ ποθεν
ἐξακούοι, φαιδρόνου σύνθημα χοροστασίας.
ἁ δ' ἐφόδοις μνάστειρα σαίνει μαλθακαῖσιν τὸν προσιόντα
Χρόνον·
πῶς δ' ἄρ', ἀδόλοισι παρηγορίαις ὅσσων μαλαχθείς,
οὐκ ἂν αὐτᾷ πάντα δοίη κεῖνος ἑκών;
καὶ παρ' ἀλλάλους διαπεμπόμενοι φροντίδων πτανὰς ὑπουργοὺς

οὔ τι κάμνοισ'. Ἐλπίδι δ' αἵδε Χρόνου στρ. ε'
τοῦ προσέρποντος πάρα σύμβολα πωτῶνται φέροισαι πιστὰ
φιλοφροσύνας·
ὧδε δὴ ψυχὰν θεραπεύμασι κηλαθεὶς ἀνικάτοις γλυκείας
Ἐλπίδος ἐρχομενᾶν ὁ μέγας κλαδοῦχος ὡρᾶν
κλᾶθρα τέλος χαλάσαι πυκνοῦ ζόφου καταξιοῖ,
δωμάτων ὃς νυκτιλαμπῶν οἱ κυανανγέας ἀμφὶ πύλας
κἄτι δινεῖται· τὸ μέλλον δ' ἐκκαλύψαις, σκιᾶν
θυρίδας ὡς κοίλας διοίγων,

One prankt with flowers
Her notice greets,
And seems to sip
With rubied lip
A chalice full of sweets.
The next with gleaming torch displays
Fair blissful scenes—yet most attracts the gaze
By signs that fill the mind with more than vision meets.
Each is welcomed as it lingers
With her kissed and beckoning fingers.
If one should haply rise
In less alluring guise,
Hope does but mark all cheerily the while
Another close behind peep o'er it with a smile.

Yet ah! with gloomiest tidings on his brow,
A giant wizard of the mountains, now
Pale Terror came; and, while with cowering mien
A spell-bound troop were round him seen,

τηλέφαντον φῶς ἐπιεσσαμέναν ἀντ. ε'

δεῖξεν ὡρᾶν ἐξ ἑτέρας ἑτέραν, ὀρφνᾶς προκύπτοισαν περιβαλλομένας·

ἁ μὲν ἀνθῶν κόσμον ἔχοισα πρέπει, χείλει δ' ἄφαρ φοινικοβάπτῳ

μεστὸν ἐϋφροσύνας προσάγει πάσας ἄλεισον·

ἁ δὲ τόπους μάκαρας πρὸς λαμπάδ' ἀγλαὰν δοκεῖ

φαινέμεν· τοῦτ' αὐτὸ μέντοι πλεῖστον ἐπισκοπέοντι μέλει,

σάμασιν γὰρ μυστικοῖς μεῖζόν τι σημαινέμεν

φρασὶν ἔχει θαῦμ' ἢ κατ' ὄψιν.

τᾶν δ' ἑκάσταν, πρὶν παρελήλυθέναι, τείνοισα χεῖρ' ἀσπάζεται· ἐπ. ε'

εἰ δέ τις αὖ στυγερὰν δείξειε μᾶλλον σχῆμ' ἐπιτελλομένα,

τᾶς δ' ἀφροντιστεῖ μὲν Ἐλπίς, τᾷ δ' ἄρ' ἐπισπομένᾳ

ἄδεται ὡς σκυθρᾶς προκύπτει δῆθεν εὔορνις γελάοισ' ὄπιθεν.

πέφρικ'· ἀχόρευτά τις ἀγγελέων χλωρὸς πρόσωπον

νίσσεται, πτάσσοντ' ἄγων φίλτροις ἀφίλοισι λόχον,

δεσπότας παμφάρμακος, οὔρεσι ναῖον πέλωρ ἄκροισι Δεῖμος·

His lips essayed dark mysteries to unfold.
But soon those quivering lips were locked,
And his glazed eye-balls, in distortion roll'd,
Betokened things too dread for speech
Or shuddering thought to reach.
The earth beneath him rocked,
When mixed with thunder and the voice of waves
From black unfathomed caves
Was heard a dreary cry,
That echoing seemed in other worlds to die.
Then silence reigned, but such as threw
On Expectation's front a ghastlier hue;
For, with a scowl of grim delight,
He told that from the realms of night
Unearthly shapes were crowding into sight.
When thus the magic work more fearful grew,
A wilder eagerness his votaries thrilled,
And, at each stir or sound
Above below around,
Shrinking they turned, or fell upon the ground,

λῦε κλαῖδας σκοτίων ἐπέων· στρ. ε'
χειλέων δ' ἄφνω τρομερῶν κρύος αὐδὰν πᾶξ' ἄφωνον, λύσσα δ' ἑλισσομένας
ὀμμάτων στρεβλοῖσ' ἐμάραινε κόρας, ἄρρητα σημαίνων ταραγμὸς
ταρβαλεώτερά τ' ἢ κατ' ἐρευνῶντας νοῆσαι·
χθὼν δὲ σαλεύεται, ἐν βρονταῖς τε καὶ κλυδωνίων
βυσσόθεν φωναῖσιν ἄντρων ὀρνυμέναισι κελαινεφέων
μίγνυται λυγρά τις ὀμφά, τῆλε δ' ἀχοῖσα γᾶς
μεθορίοις ἄστρων τε λήγει.

εἶτα σιγὰ μὲν βρόμον ἐκδέχεται, ἀντ. ε'
τοῖς δὲ καὶ πρὶν προσδοκίμοισι κακοῦ χραίνει παρείας δείματι χλωροτέρῳ·
φησὶ γὰρ κευθμῶνος ἀπ' ἐννυχίου μορφὰς ἀναθρώσκειν ἀφράστους,
σκυθρὰ δρακεὶς ἐπιχαιρέκακος· δεινᾶν δ' ὅσῳ κεν
μᾶλλον ἴωσ' ἐπαοιδᾶν μαχαναὶ τελεσφόροι,
προσπόλων θυιὰς τοσούτῳ μᾶλλον ὁμάγυρις οἰστρέεται·
εἰ δὲ κινεῖται ψόφος τις γᾶθεν εἴτ' οὐρανῷ,
τόδε τρέσαντες προστρέπονται·

TRANSLATIONS.

[illegible] heads till his behest was known;
[illegible] suspended, as he willed,
[illegible] breathing; by his look alone
[illegible] winged speed, or freeze them into stone.

[illegible] hence away,
[illegible] at the glance of day!
[illegible] that, next beheld in motion,
[illegible] resistless tide of ocean?

[illegible] aroused as from a trance,

οἱ δὲ καὶ πίπτοντι χαμαιπετέες, πρὶν δ' οὐκ ἐπαίρονται κάρα ἐπ. ε'

πρίν κε μάθωσιν ἐφετμὰς δεσπότου· κεῖνος γὰρ ἔχει τ' ἐθέλων

πᾶσιν αὐτοῖς ἀμπνοὰς ψυχᾶς τε μένος πεδάσαι,

καὶ δόμεν, ἐμβλέψαις μόνον, τοῖς μὲν δρόμων κάρτος μέγ' ἀελλοπόδων,

τοὺς δ' αὖ κρυόεις δαμάσαι λιθίνους. ἄλλ' ἔρρετ' ἤδη,

Φωσφόρου τέλλοντος εἴδωλ' ὥς, τρομεροί·

τίς γὰρ ὁρμᾶται στόλος, ὠκεανοῦ προσφερὴς ἀγναῖσι ῥιπαῖς;

φαμὶ λεύσσειν, κώματος ὡς βαθέος στρ. ζ'

ἐξεγερθεῖσαν, Σοφίαν Φύσεως στίβον ἐξηγουμένας μαστευέμεν ἐκπεράαν

συμπλόκων ὀρφναῖα πλανήμαθ' ὁδῶν, ἔνθ' ὡς προβαίνει μᾶλλον αἰεὶ

δέρκεται ἐκφανέας τις ἔσω τεθμοὺς Ἀνάγκας·

ὄμμα δ' Ὑπερφροσύναν λεύσσω τρέποισαν ἐγγελᾶν

λακπατήτους ἀμφὶ βαθμοὺς ὧν ὑπερέσχεθ' ἀναλλομένα·

ὀρθίαν δ' αἴρει Σθένος ῥώμαν φυᾶς, ὡς λαβρᾶν

στόμια νωμᾶσον θυελλᾶν.

Nor raised their heads till his behest was known;
For he could keep suspended, as he willed,
Their sense and breathing; by his look alone
Could give them wingèd speed, or freeze them into stone.

But hence, ye tremblers, hence away,
Flitting as shadows at the glance of day!
For who are these, that, next beheld in motion,
Come like the fresh resistless tide of ocean?

'Tis Intellect, aroused as from a trance,
Intent by Nature's clue
To wind through labyrinths, where at each advance
Her unveiled secrets meet the courting view.

'Tis young Disdain, with smile half turned
On bounds his vaulting feet have spurned.

'Tis Strength that lifts his rampant form,
As he could ride and curb the storm.

οἱ δὲ καὶ πίπτοντι χαμαιπετέες, πρὶν δ' οὐκ ἐπαίρονται κάρα
ἐπ. ε'

πρίν κε μάθωσιν ἐφετμὰς δεσπότου· κεῖνος γὰρ ἔχει τ' ἐθέλων

πᾶσιν αὐτοῖς ἀμπνοὰς ψυχᾶς τε μένος πεδάσαι,

καὶ δόμεν, ἐμβλέψαις μόνον, τοῖς μὲν δρόμων κάρτος μέγ' ἀελλοπόδων,

τοὺς δ' αὖ κρυόεις δαμάσαι λιθίνους. ἄλλ' ἔρρετ' ἤδη,

Φωσφόρου τέλλοντος εἴδωλ' ὥς, τρομεροί·

τίς γὰρ ὁρμᾶται στόλος, ὠκεανοῦ προσφερὴς ἀγναῖσι ῥιπαῖς;

φαμὶ λεύσσειν, κώματος ὡς βαθέος
στρ. ζ'

ἐξεγερθεῖσαν, Σοφίαν Φύσεως στίβον ἐξηγουμένας μαστενέμεν ἐκπεράαν

συμπλόκων ὀρφναῖα πλανήμαθ' ὁδῶν, ἔνθ' ὡς προβαίνει μᾶλλον αἰεὶ

δέρκεται ἐκφανέας τις ἔσω τεθμοὺς Ἀνάγκας·

ὄμμα δ' Ὑπερφροσύναν λεύσσω τρέποισαν ἐγγελᾶν

λακπατήτους ἀμφὶ βαθμοὺς ὧν ὑπερέσχεθ' ἀναλλομένα·

ὀρθίαν δ' αἴρει Σθένος ῥώμαν φυᾶς, ὡς λαβρᾶν

στόμια νωμᾶσον θυελλᾶν.

He comes, for Glory hath before him raised
Her shield with godlike deeds emblazed.
He comes, he comes: for purposes sublime
Dilate his soul; and his exulting eye
Beams like a sun, that in the vernal prime
With golden promise travels up the sky.
Onward looking, far and high,
While before his champion pride
Vallies rise and hills subside,
His mighty thoughts, too swift for lagging Time,
Through countless triumphs run;
Each deed conceived appears already done,
Foes are vanquished, fields are won.
E'en now, with wreaths immortal crown'd,
He marches to the sound
Of gratulating lyres,
And earth's applauding shout his generous bosom fires.

τὶν προκηρύσσοιεν ἐπερχομέναν. στρ. η'

ἔρχεται· τᾷ γὰρ φιλόφρων ἀνέδειξ' Εὔκλει' ἐπαίροισ' ἀσπίδα
δαιδαλέαν,

ἐργμάτων ποικίλμασι λαμπομέναν θείοισιν· ὑψηλὰς πελάζει

ἐν πραπίδεσσι τρέφοισ' ἐπινοίας, ὄμμα τ' αὐγαῖς

εἴκελος Ἀελίου χρυσαμπύκων μέτ' ἐλπίδων

αἰθέρ' ἀμβαίνοντος. ἔρπει προσκοπέοισα τὸ τηλεφανές,

εὔχεται δ' ὑψηλόφρων πρὸς πάνθ' ἁμιλλωμένα

χθαμάλ' ὀρεινοῖς τ' ἐξισώσειν,

τῶν τ' ὀρεινῶν ἄκρα χαμᾶζε βαλεῖν· ἀντ. η'

τᾷ δὲ συννοιᾶν μεγαλοπρεπέων ὁρμαὶ φθάνοισιν βᾶμα χρόνου
βραδύπουν,

μυριᾶν νικαφοριᾶν δοκέοισαι πείρατα ζαλώτ' ἀφῖχθαι.

δρᾶν γὰρ ὅσ' ἂν νοέῃ, τάδ' ὄναρ καὶ δὴ δέδρακεν·

δυσμενέων γέγονεν κρέσσων, μάχαισί τ' ἐν δορὸς

ἄξι' εἴργασται τροπαίου Ζηνός, ὑφ' ἁδυλόγων τε λυρᾶν

φαίνεται στείχειν, κέαρ γενναῖον εὐφαμίαις

φλεγομένα πλειστομβρότοισιν.

He comes, he comes: his way prepare,
Let banners wave in air,
And loud-voiced trumpets his approach declare.

All ruder sounds, o Youth, were hushed awhile,
Nor had Ambition run his purposed race,
When Love at last appeared to claim thy smile,
And at thy side obtain the dearest place.
Leaving a diviner scene,
Where her dwelling erst had been,
By Zephyrs wafted in a pearly car,
To this sublunar element
Her gliding course she bent,
And came through vernal mists, emerging like a

But first, o Youth, that she might be
Duly trained for earth and thee,
On ambrosia Love was fed
In Fancy's charmèd bowers,
Where his wand her footsteps led
Through mazes gemmed with flowers:
Making earth to her appear
Like a higher kindred sphere.